ραινόμενον οὔτε κατέχειν οἷόν τ' εἰ μὴ λυποῦν καὶ διαφθεῖρον οὔτ' ἐκβάλλειν οἷον εἰσῆλθεν ἀλλ' εἰδεχθὲς καὶ συμπεφυραμένον καὶ ἀλλόκοτον, οὕτω φίλος πονηρὸς ἢ σύνεστι λυπῶν καὶ λυμαινόμενος, ἢ βίᾳ μετ' ἔχθρας καὶ δυσμενείας ὥσπερ χολή τις ἐξέπεσε.

**4.** *Διὸ δεῖ μὴ ῥᾳδίως προσδέχεσθαι μηδὲ κολλᾶσθαι τοῖς ἐντυγχάνουσι μηδὲ φιλεῖν τοὺς διώκοντας, ἀλλὰ τοὺς ἀξίους* E *φιλίας διώκειν. οὐ γὰρ αἱρετέον πάντως τὸ ῥᾳδίως ἁλισκόμενον. καὶ γὰρ ἀπαρίνην καὶ βάτον ἐπιλαμβανομένην ὑπερβάντες καὶ διωσάμενοι βαδίζομεν ἐπὶ τὴν ἐλαίαν καὶ τὴν ἄμπελον. οὕτως δεῖ μὴ τὸν εὐχερῶς περιπλεκόμενον ποιεῖσθαι συνήθη [καλόν], ἀλλὰ τοῖς ἀξίοις σπουδῆς καὶ ὠφελίμοις αὐτοὺς περιπλέκεσθαι δοκιμάζοντας.* (5.) *ὥσπερ οὖν ὁ Ζεῦξις αἰτιωμένων αὐτόν τινων ὅτι ζωγραφεῖ βραδέως, 'ὁμολογῶ' εἶπεν 'ἐν πολλῷ χρόνῳ γράφειν, καί γὰρ εἰς πολύν', οὕτω φιλίαν καὶ συνήθειαν σῴσεις παραλαβὼν ἐν πολλῷ κριθεῖσαν.*

*Ἆρ' οὖν κρῖναι μὲν οὐκ ἔστι πολλοὺς φίλους ῥᾴδιον, συνεῖναι* F *δὲ πολλοῖς ὁμοῦ ῥᾴδιον, ἢ καὶ τοῦτο ἀδύνατον; καὶ μὴν ἀπόλαυσίς ἐστιν ἡ συνήθεια τῆς φιλίας, καὶ τὸ ἥδιστον ἐν τῷ συνεῖναι καὶ συνημερεύειν·*

*'οὐ μὲν γὰρ ζωοί γε φίλων ἀπάνευθεν ἑταίρων*
*βουλὰς ἑζόμενοι βουλεύσομεν'.* (Ψ 77) |

95 *καὶ περὶ τοῦ Ὀδυσσέως ὁ Μενέλαος* (δ 178)

*'οὐδέ κεν ἄλλο*
*ἄμμε διέκρινεν φιλέοντέ τε τερπομένω τε,*
*πρίν γ' ὅτε δὴ θανάτοιο μέλαν νέφος ἀμφεκάλυψε'.*